Εἰς τὴν Ἀνέσπερον Μνήμην τοῦ Ἀειμνήστου Γέροντος,
Πατρὸς καὶ Μητροπολίτου ἡμῶν Κυπριανοῦ
(† 17η Μαΐου 2013 ἐκ. ἡμ.)

# «Εὐχαριστήρια 2019»

# Ἐγκώμια Ἑορταστικὰ

### Προσόμοια.
### Ἦχος πλ. α΄. Ἡσαΐα χόρευε.

Δεῦτε δῶμεν αἴνεσιν, καὶ κροτοῦντες χεῖρας ἐν χαρᾷ, σεπτὸν Μητροπολίτην Κυπριανόν, Θεοῦ τε τὸν Ἄνθρωπον, πνευματικαῖς στέψωμεν ᾠδαῖς, τὸν καὶ ἱδρύσαντα, ἐν Φυλῇ θεῖον Καθίδρυμα.

* * *

Τῶν Σῶν τέκνων Σύλλογος, νῦν προσφέρει ἄνθη τῷ Θεῷ, καὶ ᾄσματα εὐγνώμονα τῷ Χριστῷ, ᾠδὰς καὶ θυμίαμα, τῷ Ἀγαθῷ Πνεύματι Αὐτοῦ, καὶ μακαρίζει Σε τὸν Πατέρα τὸν Ἀείμνηστον.

* * *

Ὦ Μαρτύρων καύχημα, ὦ Δυάς τε θείων Προστατῶν, Μονῆς ἱερωτάτης ἐν τῇ Φυλῇ, προσπίπτομεν μνήματι, νῦν τοῦ Πατρὸς σέβοντες Αὐτόν, Ὃν ἀναπαύσαιτε, εἰς τὴν Δόξαν τὴν ἀΐδιον.

11-12.9.2019 ἐκ. ἡμ.
*† ὁ Μ.*

